Cf. sis. Guil. Cavei Histor. Liter. p. m. 114. b.

# Σεραπίωνος ἐπισκόπου Θμουπόλεως
# κατὰ Μανιχαίων

## Κύριε εὐλόγησον.

Ἐπιλύει τὴν πλάνην ἡ ἀλήθεια, καὶ ἀναιρεῖ τὴν ἀπάτην,
καὶ πᾶν ψεῦδος προελθεῖν οὐκ ἐᾷ. ἱκετεύσωμεν τὸν κύριον
Ἰησοῦν ἀλήθειαν ὄντα, ἐκλάμψαι τὴν διάνοιαν ἡμῶν, ἵνα
μήτε τὴν διάνοιαν ἀναιρῆσαι ἀπάτη δυνηθῇ, ἢ κρατῆσαι
πλάνη ἰσχύσῃ, μήτε ᾑρηκυῖα καὶ κεκρατηκυῖα ἔμμονον τὴν
κράτησιν ἔχῃ. μόνον γὰρ φανεὶς, καὶ τὰς ἀκτῖνας τῆς ἀ-
ληθείας ἑαυτοῦ ἐκλάμψας ἀποσκεδάσει μὲν τὴν γενομένην
ἀπάτην, ἀνεξαπάτητον δὲ διατηρήσει τὴν διάνοιαν. αὐτὸς γὰρ
βοᾷ. ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή. αὐτὸς πα-
ραγγέλλει. προσέχετε ἑαυτοῖς ἀπὸ τῶν ψευδοπροφητῶν, οἵ-
τινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν
δὲ εἰσὶ λύκοι ἅρπαγες. ἐπειδὴ γὰρ ἐκείνων πεφενακισμένος
ἦν ὁ τρόπος, καὶ πεπλασμένον τὸ ἦθος, οὐκ ἐσιώπησεν ἡ ἀ-
λήθεια, ἀλλ' ἐγύμνωσε τὸ ἀφανὲς τῆς διανοίας καλύπτεσθαι
ὑπὸ τοῦ πεπλασμένου καὶ ἐσχηματισμένου μὴ ἐπιτρέψασα, ἵνα
καταφωρος γενομένη αὐτῶν ἡ ἀπάτη, ἀσθενὴς γένηται
ἐν ταῖς ἐπιχειρήσεσι μηδένα συλλαμβάνειν δυναμένη. ἐπ
μὲν οὖν ἡ κακία πολυειδὴς καὶ πολυσχιδής, κατὰ διαφό-
ρους ἠπλωμένη τὰς ἐπιχειρήσεις, ἔνια τῶν ἑαυτῆς μερῶν
βλαπτικώτερα καὶ ἀναιρετικώτερα ἔχουσα. διὰ τοῦτο οὐδὲ
τὰ ἥττονα σιωπητέον, οὐδὲ τῶν μειζόνων ἀφεκτέον, εἰδό-
τας τοῦτο, ὅτι τὰ μὲν ἐλάττονα μόρια τῆς κακίας βρα-
χυτέρας ποιεῖται τὰς βλάβας, τὰ δὲ μείζονα μεγάλας.
ὁ γὰρ μείζοσι σφαλεὶς, μεῖζον καὶ τιμωρεῖται. καὶ ὁ ὑπὸ μεί-
ζονος ἀπατηθεὶς μείζονα καὶ κολάζεται.

ται γὰρ ἀπάται

δὲ καὶ τὰ πλη

καὶ σταθμιζό

δικά-